1 cf. Crit. 2, ss || **2** ad rem cf. Jac. RE Suppl. II 233s Io. Rasch Comment. philol. Ienens. 10, 2 (1913), 4ss || **2** *ἑξάκις ἑπταέτει* expl. Gomperz || **3** in dubium vocatur || **2** *φιλοῦντι ἑταίραν* 𝕮 em. Mus. *φ. κόρην* Headlam || **4** *λωποδ.* primi Cratinus et Antiphon (Kal.)

ΠΑΙΑΝΕΣ

4. (7) ΣΟΦΟΚΛΕΟΥΣ [ΠΑΙ]ΑΝ |

[῾Ω Φλεγύα] κούρα περιώνυμε, μᾶτερ ἀλεξιπό[ν]ο[ιο] θεοῦ, |
[– ⏔[7] –]ạς ἀκειρεκόμα, σọ[ὶ] ẹ̓νάρξομạι [ὕμ]νον
ἐγερσιβόαν |
[– ⏔[7] –]νεσι[ν] εὐεπị[. . . .]ọ [. . .] ạ[.] αν [. . .]οβοα |
[– ⏔ – ⏔ – αὐλῶν ?] συρίγμασι μ⟨ε⟩ιγνụ́[μεν]ον

4 IG III 1 add. p. 490, 171g + A. Wilhelm Beiträge zur griech. Inschriftenkunde p. 102, 87 (Athenis in fragmentis lapidis saec. fere II p. Chr. n. inventis ad Asclepieum sub arcis radicibus) cf. Buech. RhM. 32 (1877), 318 Kai. ibid. 34 (1879), 207 Wil. Nordion. Steine ABerl. 1909, 37ss cf. Kern Rel. 2, 313s | imagines exhibet O. Kern Inscr. graec. tab. 45 p. XVII | eiusdem in Aesculapium seu in Coronidem paeanis nova fragmenta in Athenarum foro reperta ed. J. H. Oliver The Sarapion monument and the paean of Sophocles, Hesperia 5 (1936), 91ss (112) cf. v. Blumenthal Burs. Jb. 277 (1943), 71s | paeanis mentionem fecerunt Lucian. Encom. Dem. 27 (cf. ad Macedon. paean. in Apoll. et Aescul.) Philostr. vit. Apoll. Tyan. 3, 17 *ὁ παιὰν ὁ τοῦ Σοφοκλέους, ὃν Ἀθηναῖοι τῶι Ἀσκληπιῶι ἄιδουσιν* | metrum est heptameter dactylicus hypercatalectus sive acatalectus (1—3. 6—8) et hexameter dactyl. hypercatal. (4. 5)

4 de Soph. et Aescul. cf. RE III A 1044s | in titulo collocando lapidem secutus est Diehl || **2** appellatur Coronis, Aesculapii mater. cf. Pind. Pyth. 3, 8 | *περιών.* hic primum legitur. redit ap. Orph. Arg. 149 IG III 914 App. bell. civ. 2, 2 al. | Macedon. l. c. 15s *ἐδίδαξε . . . [. . . σο]φίαν Κένταυρος ἀλεξίπονος* (-*νο⟨μ⟩*?) || [illegible] de exordii sententia '*ἀκειρεκόμαι μειχθεῖσα Φοίβωι*' (cf. Pind. Pyth. 3, 14 de Coronide) dubitare non licet | sub]*ας* (*α* certum fere est) latet aut pers. 2 sing. perf. sive aor. I aut voc. sing. subst. fem. in -*άς*, -*άδος*, unde lusit [*συνευν*]*ὰς* (ad *χαμ[αι]ευνάς*) v. Blum. | *Φοῖβος ἀκερσεκόμης* primum *Υ* 39 sequuntur Hes. fr. 123, 3 Pind. paean. 9, 45 Hom. hymn. Apoll. 134 | *ἀκειρ*- Pind. l. c. Is. 1, 7 | *σοὶ* Diehl *σοῦ* vel *σέθεν* (*ἄρξομαι*) v. Blum. | *ἐνάρξομαι* sacrificii quodam modo significat initium cf. Eur. Iph. A. 955s *προχύτας χέρνιβάς τ' ἐνάρξεται Κάλχας ὁ μάντις* 1470 *κανᾶ δ' ἐναρχέσθω τις.* sim. El. 1142 al. | Nonn. par. 13, 160 *ἐγερσιβόητος ἀλέκτωρ* || **4** in. potes [– ᴗ *προσα*]*νέσι*[*ν*] *εὐεπị́*[*αις.*] (cf. Soph. Oed. reg. 931s *ἄξιος γὰρ εἶ τῆς εὐεπείας οὕνεκ'*) potius quam dat. subst. in -*νος*, -*νους* + *εὐεπέ*[*σιν*] (Herod. 5, 50 *οὐδένα γὰρ λόγον εὐεπέα λέγεις Λακεδαιμονίοισι*) || [illegible] spectat ad [. . . *κιθάρας* (*φόρμιγ*-

[– ⏔ – ⏔ – ⏔ ἔθνε ?]σι Κεκροπιδῶν [ἐπ]ịτάρροθον |
[– ⏔ – ⏔ – ⏔ – ⏔ –]ị μόλοις τὸν [χρυσο]κόμα[ν] ? |
[– ⏔ – ⏔ – ⏔ – ᴗ]ạι αὐτọ̀ν [ᴗ – ⏔ – ⏔(–) |

perierunt duo versus (9. 10), v. 11 et 18 cadebant in *Ὀλύ*]*μπιον* et]*τερα*, accedit fragm. situs incerti, quod exhibet litteras *πο*[, *ἐμ*[, *λυρ*[, *ειλ*[, *κạṭ*[, *δ.*[, *ε*[

γος, κροτάλων ?) *ψόφον αὐλῶν*] *συρίγμασι μ⟨ε⟩ιγνύ*[*μεν*]*ον* velut Sapph. 55b, 4 (96, 29) Bacch. 10, 54s Pind. Ol. 3, 8 (*φόρμιγγα . . . καὶ βοὰν αὐλῶν . . . συμμεῖξαι*) Pyth. 10, 39 (*λυρᾶν τε βοαὶ καναχαί τ' αὐλῶν*) *Σ* 495 *αὐλοὶ φόρμιγγές τε βοὴν ἔχον* | ad *συριγμ.* cf. Soph. Ichn. 167 *κυνορτικὸν σύριγμα* Eur. Bacch. 952 *Πανὸς . . . συρίγματα* et Ar. Ach. 554 Athen. paean. in Apoll. 2, 8 cum adn. Limen. paean. in Apoll. 2, 3 Orph. hymn. 34 (Apoll.), 25 || **6** *Κεκροπίδαι* appellantur Herod. 8, 44 Ion. Sam. epigr. 2 Ar. eq. 1055 quoque | ad *ἐπιτ.* cf. Terp. 4, 2 *δίκα . . . καλῶν ἐπιτ. ἔργων* Orac. ap. Herod. 1, 67 *Τεγέης ἐπιτ.* (*Λακεδαίμων*) Macedon. l. c. 11 (*Ἀσκληπιὸν*) *ἐπιτάρροθον . . . νούσω*[*ν*]

ΙΩΝ Ο ΧΙΟΣ

ΕΛΕΓΕΙΑ

1. (26)* ‿‿ θυρσοφόρος μέγα πρεσβεύων Διόνυσος·
αὕτη γὰρ πρόφασις παντοδαπῶν λογίων·
αἵ τε Πανελλήνων ἀγοραὶ θαλίαι τε ἀνάκτων,
ἐξ οὗ βοτρυόεσσ' οἰνὰς ὑποχθόνιον
πτόρθον ἀνασχομένη θαλερῶι ἐπτύξατο πήχει
αἰθέρος· ὀφθαλμῶν δ' ἐξέθορον πυκινοί

1 Athen. 10, 447[d] cf. III praef. p. X 'τῶι δ' ἡμετέρωι χορῶι [Dind.: χρόνωι A] οἶνος φίλος, ὃν 'θυρσοφόρος μέγα [μετα A] πρεσβεύων Διόνυσος', φησὶν Ἴων ὁ Χῖος ἐν τοῖς ἐλεγείοις' [2—16]

de Ione Chio cf. Schmid-Stählin I 1 (1929), 514 Geffck. GrLG I 256 Anm. p. 237 RE IX 1861ss A. v. Blumenthal Ion von Chios Tüb. 1939 (v. H. Färber PhW. 1940, 193ss) T. B. L. Webster 'Sophocles and Ion of Chios' H. 71 (1936), 263ss || 1 cf. W. Nestle Phil. 66 (1907), 508 contulit Wil.[1] Manil. 5, 238ss Athenagor. legat. 13 || 1 in. ὃν ⟨πόρε⟩ Hi. adde Wil. H. 62 (1927), 279ss potes οἶνον cum Wil., nisi in ἡμετέρωι δὲ χορῶι cadebat distichon primum | θυρσοφόροις Cas. sed cf. Orph. hymn. 44, 3 | μετα 𝕮 μέγα Hi. | Soph. fr. 248 p. 189 N.[2] Ἴναχε . . . μέγα πρεσβεύων Π 172 al. μέγα κρατέων Hom. hymn. Apoll. 68 μέγα . . . πρυτανευσέμεν adde Archestr. 59/60 ap. Athen. 1, 29[b. c] (Kal.) | πρέσβευεν Wil., qui cont. Hesych. πρεσβεύει· προτιμᾶι. μεγαλύνει || 2 λόγων C | cont. Wil. Alexid. fr. 283, 284 (II 400 K.) οἶνος φιλολόγους πάντας ποιεῖ cf. Hesych. λοῖα· ἐκκλησία (v. Blumenthal Hesychstud. 25) || 4 ὑποχθονίων 𝕮 corr. Mus. || 5 ἐπτήξατο A ἐπήξατο C ἐπτύξατο Cas. Wil. ἐπορέξατο Lob. an ἐπεπήξατο? ἔνι λέξατο πήχει Blum. coll. Ξ 350 δ 305 || 6 ad gen. αἰθέρος cont. Wil. P 372s I 218s | 'cf. Moiro A. P. 6, 119' Wil.[1] | cf. Philox. Cyther. 7 || 6s O 684 θρώισκων ἄλλοτ' ἐπ' ἄλλον

* Numeri adiecti sunt editionis Blumenthalianae.

παῖδες φωνήεντες, ὅταν πέσηι ἄλλος ἐπ' ἄλλωι·
πρὶν δὲ σιωπῶσιν· παυσάμενοι δὲ βοῆς
νέκταρ ἀμέλγονται, ⟨γ⟩όνον ὄλβιον ἀνθρώποισιν,
ξυνὸν τοῦ χαίρειν φάρμακον αὐτοφυές·
τοῦ θαλίαι φίλα τέκνα φιλοφροσύναι τε χοροί τε·
τῶν ⟨δ'⟩ ἀγαθῶν βασιλεὺς οἶνος ἔδειξε φύσιν.
τ⟨ῶι⟩ σύ, πάτερ Διόνυσε, φιλοστεφάνοισιν ἀρέσκων
ἀνδράσιν, εὐθύμων συμποσίων πρύτανι,
χαῖρε· δίδου δ' αἰῶνα, καλῶν ἐπιήρανε ἔργων,
πίνειν καὶ παίζειν καὶ τὰ δίκαια φρονεῖν.

2. (27) Χαιρέτω ἡμέτερος βασιλεὺς σωτήρ τε πατήρ τε.
ἡμῖν δὲ κρητῆρ' οἰνοχόοι θέραπες
κιρνάντων προχύταισιν ἐν ἀργυρέοισ'· ὁ δὲ χρυσοῦ
δῖνον ἔχων χειροῖν νιζέτω εἰς ἔδαφος.

2 Athen.[1] 11, 463[a. b] καὶ Ἴων δὲ ὁ Χῖός φησιν· [1—10] Athen.[2] 11, 496[c] προχύτης εἶδος ἐκπώματος, ὡς Σιμάριστος ἐν τετάρτωι Συνωνύμων. Ἴων δ' ὁ Χῖος ἐν ἐλεγείοις· [2. 3] || 3 Hesych. προχύτης· ποτήριόν τι

8 O 160 al. παυσάμενον . . . μάχης ἠδὲ πτολέμοιο || 9 ⟨γ⟩όνον Wil. (quod respuit Schmid I 2, 519, 9) μόνον 𝕮 | aliter Macedon. A. P. 9, 645 οἰνὰς βοτρύων ἤμελξε γάνος || 10 cf. Alc. 91, 3s Philon. vit. cont. 74 (p. 483 M.) οἶνος μὲν γὰρ ἀφροσύνης φάρμακον || 11 θ 248 δαίς τε φίλη κίθαρίς τε χοροί τε | cf. Crit. 4, 14ss || 12 ⟨δ'⟩ Hart. | Theogn. 500 ἀνδρὸς δ' οἶνος ἔδειξε νόον cf. 501 || 13 τῶι B. Wil. τοῦ 𝕮, quod def. Blu. coll. Hes. sc. 255 || 14 cf. Athen. 11, 462[c. d]ss cap. 7. 8 Alcm. 70 (ὠιδὴν) γλυκυτάτων πρύτανιν ὕμνων || 15 Empedocl. 129, 3 Die.-Kr.[5] σοφῶν ἐπιήρανος ἔργων (de Pythagora) || 16 2, 7 πίνωμεν, παίζωμεν | cf. Crit. 4, 25 || [illegible] ab Ione Chio abiudicavit Wil., qui Samio poetae cognomini dedit (H. 62 [1927], 283), sed cf. Köhler H. 29 (1894), 157s || 1 βασ. σωτήρ τε πατήρ τε est Hermanno Kleinknecht rex conbibonum propter 1, 12 βασιλεὺς οἶνος et 1, 13 πάτερ Διόνυσε. sed cf. v. 6 ἐκ Διὸς ἀρχόμενοι, qui potest esse Ζεὺς σωτὴρ τρίτος ἐν ταῖς σπονδαῖς. de σωτήρ τε πατήρ τε addas A. Oxé 'Soter bei den Römern' WSt. 48 (1930), 41ss | δ 224 al. μήτηρ τε πατήρ τε || 2 κρητῆρι οἰνοχόαι (-όοι E) Athen. | Eur. Ion. 94 ὦ Φοίβου Δελφοὶ θέραπες || 2ss κ 356s κρητῆρι . . . οἶνον ἐκίρνα . . . ἐν ἀργυρέωι, νέμε δὲ χρύσεια κύπελλα || 3 προχοαῖσιν ἐν ἀργυρέαις Athen.[1] de vetusta v. l. προχόοισιν (σ 397) cogitavit Kai. | ante ὁ δὲ nonnulla intercidisse velut ὁ μὲν ὕδωρ ad Euen. 2 minus recte ci. Cr. || 3s χρυσὸς οἶνον . . . χειρῶν Ath. 𝕮 em. Hi. || 4 οἰνοχόην χειρῶν Blu. | χειρῶν νιζέτω Ath. χειροῖν ἴζέτω Bentl.

σπένδοντες δ' ἁγνῶς Ἡρακλέι τ' Ἀλκμήνηι τε,
Προκλέι Περσείδαις τ' ἐκ Διὸς ἀρχόμενοι
πίνωμεν, παίζωμεν· ἴτω διὰ νυκτὸς ἀοιδή,
ὀρχείσθω τις· ἑκὼν δ' ἄρχε φιλοφροσύνης.
ὅντινα δ' εὐειδὴς μίμνει θήλεια πάρευνος,
κεῖνος τῶν ἄλλων κυδρότερον πίεται.

3. (28) αὐτὰρ ὅ γ' ἐμμαπέως τὸν ὀρίγανον ἐν χερὶ κεύθει.

4. (29) τήν ποτε Θησεΐδης ἔκτισεν Οἰνοπίων.

5. (30) ὣς ὁ μὲν ἠνορέηι τε κεκασμένος ἠδὲ καὶ αἰδοῖ
καὶ φθίμενος ψυχῆι τερπνὸν ἔχει βίοτον,
εἴπερ Πυθαγόρης ἐτύμως ὁ σοφὸς περὶ πάντων
ἀνθρώπων γνώμας εἶδε καὶ ἐξέμαθεν.

6. (32) Ἑνδεκάχορδε λύρα, δεκαβάμονα τάξιν ἔχοισα

3 Athen. 2, 68b ὅτι εἴρηται ἀρσενικῶς ... ὁ ὀρίγανος ... Ἴων· [1] | cf. Et. Magn. 630, 49s s. v. ὀρίγανος || **4** Plvt. Thes. 20, 2 ἔνιοι δὲ καὶ τεκεῖν ἐκ Θησέως Ἀριάδνην Οἰνοπίωνα καὶ Στάφυλον· ὧν καὶ ὁ Χῖος Ἴων ἐστὶ περὶ τῆς ἑαυτοῦ πατρίδος λέγων· [1] || **5** Diog. Laert. 1, 119s φησὶ δὲ Δοῦρις ἐν τῶι δευτέρωι τῶν Ὥρων [Σαμίων FGrHist 76, 22] ἐπιγεγράφθαι αὐτῶι (Φερεκύδει A 1ss Kr.) τὸ ἐπίγραμμα τόδε [A. P. 7, 93. Preg. epigr. 251]· 'τῆς σοφίης πάσης ἐν ἐμοὶ τέλος· ἢν δέ τι πλεῖον, | Πυθαγόρηι τὠμῶι λέγε ταῦθ', ὅτι πρῶτος ἁπάντων | ἔστιν ἀν' Ἑλλάδα γῆν· οὐ ψεύδομαι ὧδ' ἀγορεύων'· Ἴων δ' ὁ Χῖός φησι περὶ αὐτοῦ· [1—4] || **6** Cleonid. isag. harm. 12 p. 202, 8 Jan ἐπὶ μὲν οὖν τοῦ φθόγγου χρῶνται τῶι

6 cf. Myth. Lex. III 3017. 1984, 4 Alcm. 9 ἐκ Δ. ἀρχομένα cum adn. || **7** cf. 1, 16 et 7 || [illegible] φ. 1, 11 || **3** αὐτὰρ ὅ γ' Hom. | ξ 485 ὁ δ' ἄρ' ἐμμαπέως (E 836) | χειρὶ CE corr. Mus. | Hom. ἐν φρεσὶ κεύθειν || **4** cf. Crit. 1, 6 || **5** in dubium vocavit Die. Vorsokr. I⁴ 288, sed cf. Wil. H. 62 (1927), 281¹ Kranz H. 69 (1934), 227 Vorsokr. Die.-Kr.⁵ I 380, 4 RE XIX 2027s || **1** ω 509 ἀλκῆι τ' ἠνορέηι τε κεκάσμεθα || **2** cf. 7, 3 || **3s** cf. Heraclit. 129 Die.-Kr.⁵ cum adn. Emped. 129 Die.-Kr.⁵ || **4** ειδε B¹ εἰδὲ B² ἴδε B οἶδε Vat. ἤιδεε Die. | καὶ ἐξέμαθεν 𝕮 κἀξέμαθεν Die. || **6** de origine aetate interpretatione cf. Wil. Timotheos 75¹ Die. l. c. 288 adn. Fr. Marx RhM. 83 (1934), 376ss Maas RE VI A s. Timotheos 1333, 59ss Diehl RE IX 1867 Die.-Kr. Vorsokr.⁵ I 381, 5 || **1** [τὴν] δεκαβάμονα 𝕮 (del. Herm.) δεκαβάθμονα ci. Kal. | cf. Timoth. Pers. 237ss || **1s** ἔχοισα εἰς [τὰς] 𝕮, del. Wil. (H. 37 [1902], 306) de ἔχοισα forma aeolica contulit Die. Philol. 23 Die.-Kr.⁵ ἔχοις ᾇ ci. Blu.

εἰς συμφωνούσας ἁρμονίας τριόδους,
πρὶν μέν σ' ἑπτάτονον ψάλλον διὰ τέσσαρα πάντες
Ἕλληνες σπανίαν μοῦσαν ἀειράμενοι....

ΕΠΙΓΡΑΜΜΑ

7. (8 Bergk⁴) Χαῖρε μελαμπετάλοισ', Εὐριπίδη, ἐν γυάλοισιν
Πιερίας τὸν ἀεὶ νυκτὸς ἔχων θάλαμον·
ἴσθι δ' ὑπὸ χθονὸς ὤν, ὅτι σοι κλέος ἄφθιτον ἔσται
ἶσον Ὁμηρείαις' ἀενάοις χάρισιν.

ΜΕΛΗ

8. (33) ⏑⏑⏓
– ⏑ – – – ⏑⏑ – ⏑⏑ – – – ⏑⏑ ⏓
⏑ – – – ⏑ – – – ⏑⏑ – ⏑⏑ ⏓
– – – ⏑⏑ ⏓
ἄδαμον
παῖδα ταυρωπόν, νέον οὐ νέον, ἥδιστον πρόπολον
βαρυγδούπων ἐρώτων, οἶνον ἀερσίνοον,
ἀνθρώπων πρύτανιν,

ὀνόματι (i. τόνωι) οἱ λέγοντες ἑπτάτονον τὴν φόρμιγγα, καθάπερ Τέρπανδρος καὶ Ἴων. ὁ μὲν γάρ φησιν· 'ἡμεῖς τοι ... ὕμνους' [fr. 4, 3s D.], ὁ δέ· [1—4]. καὶ ἕτεροι δὲ οὐκ ὀλίγοι κέχρηνται τῶι ὀνόματι (= Evclid. op. VIII 216 M.) || **7** A. P. 7, 43 (Plan.) εἰς Εὐριπίδην· m.² Ἴωνος | Svid. s. ἐγγυάλοισι [1—2 Πιερίας] || **8** Athen. 2, 35e Ἴων δ' ὁ Χῖός φησιν (περὶ τοῦ οἴνου)· [1—4]

2 εἰς: εἶ ci. Die. τρεῖς Marx || **4** non integrum esse epigramma vidit Die. || **7** epigramma ab Ione Chio, qui obiit anno fere 422, omnino alienum a Samio cognomine, cui Blu. 64 (Wil. secutus) epigr. tribuit, non abhorret || **1** μελαμπέπλοις 𝕮 em. Lob. ad A. P. 4, 1, 14. 9, 307, 2 μελαμπεδίοις Hart. 'possis μελαμφύλλοις' B. ex Anacr. Pind. al. | Hom. hymn. Ap. 396 γυάλων ὕπο Παρνησοῖο (Hes. theog. 499) hymn. 26, 5 Νύσης ἐν γυάλοις || **3** I 413 κλ. ἄ. ἔ. | cf. 5, 2 || **4** Χάρισιν Kal. || **8** **1** ἄδαμνον Cas. ex Hesych. ἀδαμνόν· ἀγνώμονα ἢ ἀδάμαστον. sed idem Hes. ἀδάμα· παρθενικὴ γῆ || **2** ταυρῶπα E (ut videtur) | Orph. hymn. 30, 4 (Διόνυσον) ταυρωπόν | cf. Varr. ling. 6, 21 *novum vetus vinum* || [illegible] ⟨τῶν⟩ βαρ. Wil. | ἀερσίπνοον CE corr. Cas. | cf. Maxim. περὶ καταρχῶν 464 ἀ. Βάκχος Athen. Mitt. 17 (1892), 273 Διόνυσος ἀερσίφρων cf. Et. Magn. 20, 47 et ἐγερσίνοος (Nonn., Procl.), θελξίνοος (A.P.) al. || **3s** Οἶνον ἀερσίπνοον ἄνθος ci. Blu. || **4** ante

9. (34) – – ∪ – ∪∪ – – – ∪ ∪

– – ∪ – ∪∪ – – – ∪∪ – ∪∪ –

Ἀοῖον ἀεροφοίταν ἀστέρα
μείνωμεν ἀελίου λευκοπτέρυγα πρόδρομον.

10. (38) οὐδ' ὅ γε σῶμα τυπεὶς διφυεῖς τε κόρας ἐπιλάθεται ἀλκᾶς,
ἀλλ' ὀλιγοδρανέων φθογγάζεται·
θάνατον δ' ὅ γε δουλοσύνας προβέβουλε.

11. (39) ταῖς ἀφλεγμάντοις τραπέζαις

9 Schol. Ar. pac. 835 'Ἴων ὁ Χῖος·' διθυράμβων καὶ τραγωιδίας καὶ μελῶν ποιητής· ἐποίησεν δὲ ὠιδήν, ἧς ἡ ἀρχή· [1. 2] φαίνεται δὲ τετελευτηκὼς ἐκ τούτων. παίζων οὖν ὁ Ἀριστοφάνης Ἀοῖον αὐτόν φησιν ἀστέρα κληθῆναι | eadem Svid. s. v. διθυραμβοδιδάσκαλοι· || **10** Philon. qu. omn. prob. 134 (466 M.) τοῦ δὲ περὶ τοὺς ὄρνιθας ἐναγωνίου μέμνηται καὶ ὁ τραγικὸς Ἴων διὰ τούτων· [1—3] || **11** Plvt. qu. conv. VI prooem. 686a . . . ἐκ τῶν πολυτελῶν καὶ στρατηγικῶν δείπνων ἀναλαβὼν ὁ Πλάτων ἐδείπνισεν ἐν Ἀκαδημείαι μουσικῶς καὶ ἀφελῶς 'ταῖς . . ., ὥς φησιν ὁ Ἴων, τραπ.'

ἀνθρ. lacunam statuit Kai. | ἀθανάτων Wil. | cf. 1, 14 Hom. hymn. Ap. 68s (Ἀπόλλωνα) μέγα δὲ πρυτανευσέμεν ἀθανάτοισι καὶ . . . βροτοῖσιν ἐπὶ . . . ἄρουραν || **9** cf. H. Schönewolf Der jungattische Dithyrambos (Diss. Giss. 1938), 56s (v. H. Färber PhW. 1942, 103s) | ϑ 29 ἠοίων . . . ἀνθρώπων Apoll. Rhod. 1, 1273s ἀστὴρ ἠῷιος | ἠεροφοίταν Rau. Suid. | Orph. lith. 45 ἠεροφοῖται (οἰωνοί) cf. οὐρανοφοίτης ap. Suid. s. v. οὐρανοβάμων || **2** μῆνα μὲν Rau. Suid. μείναμεν Bentl. | ad rem cf. 2, 7 | λευκῆι πτέρυγι RV Schol. Ar., corr. Bentl. λεπτῆι πτέρυγι Suid. v. l. | λευκόπτ. novum, sed similia sunt μελανοπτ- (Eur. Hec. 71), κυανοπτ- (Cercid. 2a, 2); cf. φοινικόπτερος (Cratin. ap. Athen. 9, 373c) | an versus cadit in anapaestos? || **10** vide an tragoediae velut Phoenicis vel Caenei sit fragmentum (TGF 53 p. 743 N.²) cf. Blu. ad l. Schmid-Stählin I 2, 516, 3 Webster l. c. 264. 267. ad rhythmum cf. fr. 41 N.² || **1** Δ 531 γαστέρα τύψε (Φ 180) | Arist. hist. anim. 11, 9 p. 491b 14 ὀφρύες διφυεῖς | Δ 313 al. λελάσμεθα θούριδος ἀλκῆς (passim contrarium μνήσασθε δὲ θ. ἀ.) || **2** Ο 246 al. ὀλιγοδρανέων προσέφη | φθογγ. primus Io || **3** Α 113 Κλυταιμήστρης προβέβουλα (Χρυσηίδα) || **11** ad rem v. Blu. 25s

ΙΩΝ Ο ΣΑΜΙΟΣ

Εἰκόνα ἑὰν ἀνέθηκε[ν ἐπ' ἔργ]ω[ι τ]ῶιδε, ὅτε νικῶν
ναυσὶ θοαῖς πέρσεν Κε[κ]ροπιδᾶν δύναμιν,
Λύσανδρος Λακεδαί[μο]να ἀπόρθητον στεφανώσα[ς],
Ἑλλάδος ἀκρόπο[λιν, κ]αλλίχορομ πατρίδα.
Ἐξάμο(υ) ἀμφιρύτ[ο(υ)] τεῦξε ἐλεγεῖον Ἴων.

ΦΙΛΙΑΔΗΣ Ο ΜΕΓΑΡΕΥΣ

(B.⁴ II 378) ἄνδρες τοί ποτ' ἔναιον ὑπὸ κροτάφοισ' Ἑλικῶνος,
λήματι τῶν αὐχεῖ Θεσπιὰς εὐρύχορος.

Io Sam.: Inscr. ap. Homolle Comptes rendus de l'Acad. d. inscr. 1901, 681ss Pomtow Arch. Anz. 1902, 18 cf. BPhW. 1902, 734ss | Delphis in lapide calcario. celebratur Lysandri apud Aegospotamos victoria. cf. RE XIII 2504s

Philiad.: Steph. Byz. s. v. Θέσπεια . . . καὶ ἐπίγραμμα τῶν ἀναιρεθέντων ὑπὸ τῶν Περσῶν· ἦν δὲ Φιλιάδου Μεγαρέως· [1. 2] | Evst. in Il. 266, 11 | cf. Preger Inscr. gr. metr. 23 p. 18 Hi. v. Gaertr. Epigr. 19

Io Sam. de Ione Samio cf. Schmid-Stählin I 1 (1929), 385 Geffck. GrLG I 237, 21 v. Blumenthal Ion v. Chios 65 Plut. Lysandr. 1, 1. 18, 1 et RE IX 1868, 12 Boas Simonid. p. 45 Geffck. Epigr. 97 cum adn. Hi. v. Gaertr. Epigr. 58 Friedl. St. It. Fil. Cl. 15 (1938), 108ss || **2** de Κεκρ. cf. Soph. paean. 6 cum adn. Eur. Phoen. 855 Ion 296 (Friedl.) || **3** de ἀπόρθ., voce Homerica (Μ 11), disputavit Friedl. 109 | ad καλλίχ. contulit idem Eur. Heraclid. 359, Hi. v. Gaertr. Epigr. 47 Ar. nub. 300ss || pentameter | cf. ad Ionis Chii fr. 7

Philiad. cf. Herod. 5, 202. 222. 227 RE XIX 2172 || **1** θ' οἳ 𝔈 em. Br., negat Boas De epigr. Simonideis 17, 23. 27, 43 | 226 ὃς . . . ποτ' ἔναιε | Aesch. Prom. 721 W. κροτάφων ἀπ' αὐτῶν (Καυκάσου)

ΜΕΛΑΝΘΙΟΣ Ο ΑΘΗΝΑΙΟΣ

ΕΛΕΓΕΙΑ

(B.4 II 258) *αὐτοῦ γὰρ δαπάναισι θεῶν ναοὺς ἀγοράν τε*
Κεκροπίαν κόσμησ᾽ ἡμιθέων ἀγοραῖς.

ΔΙΟΝΥΣΙΟΣ Ο ΧΑΛΚΟΥΣ

ΕΛΕΓΕΙΑ

1. (1) *Ὦ Θεόδωρε, δέχου τήνδε προπινομένην*
τὴν ἀπ᾽ ἐμοῦ ποίησιν. ἐγὼ δ᾽ ἐπιδέξια πέμπω
σοὶ πρώτωι Χαρίτων ἐγκεράσας χάριτας.

MELANTH.: PLVT. Cim. 4, 7 *ὁ δὲ Πολύγνωτος οὐκ ἦν τῶν βαναύσων οὐδ᾽ ἀπ᾽ ἐργολαβίας ἔγραφε τὴν στοάν, ἀλλὰ προῖκα, φιλοτιμούμενος πρὸς τὴν πόλιν, ὡς οἵ τε συγγραφεῖς ἱστοροῦσι καὶ Μελάνθιος ὁ ποιητὴς λέγει τὸν τρόπον τοῦτον·* [1. 2]
DION. CHALC. **1** ATHEN. 15, 669d *καὶ ὁ Δημόκριτος· ‘ἀλλ᾽ ἵνα κἀγώ, φησίν, μνημονεύσω τῶν τοῦ Χαλκοῦ ποιητοῦ καὶ ῥήτορος Διονυσίου — Χαλκοῦς δὲ προσηγορεύθη διὰ τὸ συμβουλεῦσαι Ἀθηναίοις χαλκῶι νομίσματι χρήσασθαι, καὶ τὸν λόγον τοῦτον ἀνέγραψε Καλλίμαχος ἐν τῆι τῶν Ῥητορικῶν Ἀναγραφῆι* [fr. 100d 24 II p. 320 Schn.] — . . ., *λέξω τι καὶ αὐτὸς ἐκ τῶν ἐλεγείων. σὺ δέ, ὦ Θεόδωρε — τοῦτο γάρ σου τὸ κύριον ὄνομα —, δέχου᾽ κτλ.*

MELANTH. cf. RE XV 428s | ad titulum cf. Plut. Cim. 4, 9 *Μελάνθιος μνημονεύει . . . παίζων δι᾽ ἐλεγείας* ‖ **2** *ἀγοραῖσι* (*γραφαῖσιν* unus) 𝕮 ‘heroum conciliis’ *ἀρεταῖς* Rei.
DION. CHALC. cf. Wil. HD. 1, 97, 1. 2, 150 (fr. 4. 7) Schmid-Stählin I 4, 475 Geffck. GrLG I 265 Anm. p. 237 ‖ **1 1** hic pentameter, quem Dionysium (Apollinem secutum ?) hexametro praemisisse docet Athen. 13, 602c, primae elegiae exordium fuit. cf. Cr. RE V 926, 39ss ‖ **1**ss ad rem cf. 4 et Reitz. Epigr. u. Skol. 28ss ‖ **2** Crit. 9, 7 *προπόσεις ἐπιδέξια νωμῶν* cf. Crit. 2, 7

καὶ σὺ λαβὼν τόδε δῶρον ἀοιδὰς ἀντιπρόπιθι
συμπόσιον κοσμῶν καὶ τὸ σὸν εὖ θέμενος.

2. (2) *Ἀγγελίας ἀγαθῆς δεῦρ᾽ ἴτε πευσόμενοι*
καὶ κυλίκων ἔριδας διαλύσατε καὶ κατάθεσθε
τὴν ξύνεσιν παρ᾽ ἐμοὶ καὶ τάδε μανθάνετε.

3. (3) *κότταβον ἐνθάδε σοὶ τρίτον ἑστάναι οἱ δυσέρωτες*
ἡμεῖς προστίθεμεν γυμνασίωι Βρομίου
κώρυκον. οἱ δὲ παρόντες ἐνείρετε χεῖρας ἅπαντες
ἐς σφαίρας κυλίκων· καὶ πρὶν ἐκεῖνον ἰδεῖν,
ὄμματι βηματίσαισθε τὸν αἰθέρα τὸν κατὰ κλίνην,
εἰς ὅσον αἱ λάταγες χωρίον ἐκτατέαι.

4. (4) *ὕμνους οἰνοχοεῖν ἐπιδέξια σοί τε καὶ ἡμῖν.*
τόν τε σὸν ἀρχαῖον τηλεδαπόν τε φίλον
εἰρεσίηι γλώσσης ἀποπέμψομεν ἐς μέγαν αἶνον
τοῦδ᾽ ἐπὶ συμποσίου· δεξιότης τε λόγου
Φαίακος Μουσῶν ἐρέτας ἐπὶ σέλματα πέμπει.

---

5. (5) *καί τινες οἶνον ἄγοντες ἐν εἰρεσίαι Διονύσου,*

2 ATHEN. 15, 669b *καὶ αὐτὸς δὲ τούτων τῶν ἐπῶν* (*Διονυσίου τοῦ Χαλκοῦ*) *μεμνημένος τινῶν ἐρῶ, ἵνα μὴ ὁ Οὐλπιανὸς βρενθύηται ὡς ἐκ τῶν ἀποθέτων τοῖς Ὁμηρίδαις* ⟨*ὁμοίως* add. Kai.⟩ [Plat. Phaedr. 252b] *μόνος ἀνασπάσας* ⟨*λήψεται* add. Wil.⟩ *τὰ κοττάβεια* [1—3] *εἰς τὴν παροῦσαν ζήτησιν ἐπιτήδεια ὄντα* ‖ **3** ATHEN. 15, 668e *μνημονεύει τῶν λατάγων καὶ τῶν κοττάβων καὶ ὁ Χαλκοῦς καλούμενος Διονύσιος ἐν τοῖς ἐλεγείοις διὰ τούτων·* [1—6] ‖ **4** ATHEN. 15, 668f *ἐπὶ τούτοις ὁ Οὐλπιανὸς ᾔτει πιεῖν μεγάλῃ κύλικι ἐπιλέγων ἐκ τῶν αὐτῶν ἐλεγείων καὶ τόδε·* [1—5] ‖ **5** ATHEN. 10, 443c *ὁ Ποντιανὸς ἔφη πάντων τούτων εἶναι τῶν δεινῶν μητρόπολιν τὸν οἶνον, δι᾽ ὃν καὶ τὰς μέθας καὶ τὰς μανίας, ἔτι δὲ καὶ τὰς παροινίας*

2 1 contra *Σ* 18s al. *λυγρῆς πεύσεαι ἀγγελίης* | Eur. Or. 1276 *δὸς ἀγγελίαν ἀγαθάν* | *Γ* 130 *δεῦρ᾽ ἴθι* | *πεσσόμενοι* A corr. Cas. ‖ **3** cf. Crit. 1. 8, 9s RE XI 1528ss ‖ **3** *ἐνείρεται* A corr. Mus. ‖ **4** ‘*σπείρας* O. Jahn Kottabos (Phil. 26 [1867], 213) recte’ Wil.1 ‖ **5** *βηματίσασθε* Mus. ‖ **6** *ἐκτατέαι* Buech. (Fleck. Jbb. 1875, 125) *ἐκτέταται* Athen. ‖ **4** cf. 1. 5 Crit. 4 ‖ **2** *τόν τε* A *τόνδε* Mus. | *σὸν* 𝕮 *τὸν* B. | *τηλεπαδον* A corr. Cas. ‖ **4** *δὲ* B. ‖ **5** cf. 4 (ubi v. 3 *εἰρεσίηι*) ‖ **1** *Η* 467 *νῆες . . . οἶνον ἄγουσαι*

συμποσίου ναῦται καὶ κυλίκων ἐρέται,
⟨μάρνανται⟩ περὶ τοῦδε· τὸ γὰρ φίλον οὐκ ἀπόλωλε.

6. (6) *τί κάλλιον ἀρχομένοισιν*
ἢ καταπαυομένοισ᾽ ἢ τὸ ποθεινότατον;

7. (7) *κραυγὴ(ν) Καλλιόπης*

ΕΥΡΙΠΙΔΗΣ Ο ΑΘΗΝΑΙΟΣ

ΕΠΙΚΗΔΕΙΟΝ

1. (1) *Οἵδε Συρακοσίους ὀκτὼ νίκας ἐκράτησαν*
ἄνδρες, ὅτ᾽ ἦν τὰ θεῶν ἐξ ἴσου ἀμφοτέροις.

ΕΠΙΓΡΑΜΜΑ

[2.] (2) *῏Ω τὸν ἀγήρατον πόλον αἰθέρος Ἥλιε τέμνων,*
ἆρ᾽ εἶδες τοιόνδ᾽ ὄμματι πρόσθε πάθος·

γίνεσθαι· οὗ τοὺς ἐκπαθῶς μεταλαμβάνοντας οὐ κακῶς ὁ Χαλκοῦς ἐπικαλούμενος Διονύσιος ἐν τοῖς ἐλεγείοις κυλίκων ἐρέτας ἔφη· [1—3] ‖ **6** Athen. 15, 702c *κατὰ γὰρ τὸν Χαλκοῦν Διονύσιον·* [1. 2] ‖ **7** Arist. rhet. 3, 2 p. 1405a 31 *ἔστι δὲ καὶ ἐν ταῖς συλλαβαῖς ἁμαρτία, ἐὰν μὴ ἡδείας ἦι σημεῖα φωνῆς, οἷον Διονύσιος προσαγορεύει ὁ Χαλκοῦς ἐν τοῖς ἐλεγείοις κραυγὴν Καλλιόπης τὴν ποίησιν, ὅτι ἄμφω φωναί*

1 Plvt. Nic. 17, 4 *ὁ μὲν γὰρ Εὐριπίδης μετὰ τὴν ἧτταν αὐτῶν καὶ τὸν ὄλεθρον γράφων ἐπικήδειον ἐποίησεν·* [1. 2] ‖ **2** Athen. 2, 61b *Ἐπαρχίδης* [FHG IV 404] *Εὐριπίδην φησὶ τὸν ποιητὴν ἐπιδημῆσαι τῆι Ἰκάρωι καὶ γυναικός τινος μετὰ τέκνων κατὰ τοὺς ἀγρούς, δύο μὲν ἀρρένων τελείων, μιᾶς δὲ παρθένου, φαγούσης θανασίμους μύκητας καὶ ἀποπνιγείσης μετὰ τῶν τέκνων ποιῆσαι τουτὶ τὸ ἐπίγραμμα·* [1—4]

3 suppl. Herm. ‖ **6** **1** s ∼ Ar. eq. 1263 (*τί κ. ἀρχ. ἢ καταπαυομένοισιν*) (Wil.[1]) Pind. fr. 89 Schr. e schol. Ar. l. c. (*τοῦτο ἀρχὴ προσοδίου Πινδάρου· ἔχει δὲ οὕτως· Τί κ. ἀρχομένοισ᾽ ἢ καταπαυομένοισιν*) ‖ **1** *ἀρχομένοις* AE corr. Cas. ‖ **2** Pind. Ol. 8, 64 *ἐξ ἱερῶν ἀέθλων . . . ποθεινοτάταν δόξαν φέρειν*

1 Herod. 6, 109 contulit Geffck. Epigr. 117 ‖ **2** Xenoph. Hell. 2, 4, 16 *ἐκ τοῦ ἴσου μάχεσθαι* ‖ **2** cf. Wil. Herakl. I[1] 32, 58 et Geffck. Epigr. 118 ‖ **1** Orph. Argon. 303 *Ἠέλιος τὸν ἀπείριτον αἰθέρα τέμνων* | Ar. av. 1400 *αἰθέρος αὔλακα τέμνων*

μητέρα παρθενικήν τε κόρην δισσούς τε συναίμους
ἐν ταὐτῶι φέγγει μοιραδίωι φθιμένους;

ΜΕΛΗ

ΕΠΙΝΙΚΙΟΝ ΑΛΚΙΒΙΑΔΗΙ

3. (3)
⏑⏑ – ⏑⏑ –   – ⏑ – –
– ⏑ – –   – ⏑ – –   – ⏑ – –
– ⏑ – –   – ⏑ ⏓ |
– ⏑⏑ –   ⏑⏑ – –   – ⏑⏑ –   ⏑⏑ – –
⏑⏑ – –   ⏑ – – –   ⏑ – –
– – ⏑⏑ – ⏑⏑ – –

σὲ δ᾽ ἀείσομαι, ὦ Κλεινίου παῖ.
καλὸν ἁ νίκα· ⟨τὸ⟩ κάλλιστον ⟨δ᾽⟩, ὃ μηδεὶς
ἄλλος Ἑλλάνων ⟨λαχών⟩·
ἅρματι πρῶτα δραμεῖν καὶ δεύτερα καὶ τρίτα, βῆναί τ᾽
ἀπονητὶ Διὸς στεφθέντ᾽ ἐλαίαι
κάρυκι βοᾶν παραδοῦναι.

3 Plvt. Alc. 11, 1 *αἱ δ᾽ ἱπποτροφίαι περιβόητοι μὲν ἐγένοντο καὶ τῶι πλήθει τῶν ἁρμάτων· ἑπτὰ γὰρ ἄλλος οὐδεὶς καθῆκεν Ὀλυμπίασιν ἰδιώτης οὐδὲ βασιλεύς, μόνος δὲ ἐκεῖνος. καὶ τὸ νικῆσαι δὲ καὶ δεύτερον γενέσθαι καὶ τέταρτον, ὡς Θουκυδίδης φησιν, ὁ δ᾽ Εὐριπίδης τρίτον, ὑπερβάλλει λαμπρότητι καὶ δόξηι πᾶσαν τὴν ἐν τούτοις φιλοτιμίαν. λέγει δ᾽ ὁ Εὐριπίδης ἐν τῶι ἄισματι ταῦτα·* [1—5] | cf. Athen. 1, 3e *καὶ Εὐριπίδης ἔγραψεν ἐπινίκιον* | Plvt. Demosth. 1, 1 *ὁ μὲν γράψας τὸ ἐπὶ τῆι νίκηι τῆς Ὀλυμπίασιν ἱπποδρομίας εἰς Ἀλκιβιάδην ἐγκώμιον, εἴτ᾽ Εὐριπίδης, ὡς ὁ πολὺς κρατεῖ λόγος, εἴθ᾽ ἕτερός τις ἦν, Σόσσιε, φησὶ χρῆναι τῶι εὐδαίμονι πρῶτον ὑπάρξαι τὰν πόλιν εὐδόκιμον*

4 *μοιριδίωι* ci. Mus., sed cf. Soph. Oed. C. 229 (𝔈) ‖ **3** **2** ⟨*τὸ*⟩ B. | ⟨*δ᾽*⟩ Rei. | ⟨*λαχών*⟩ Kal. D. ⟨*λάχεν*⟩ vel ⟨*ἔλαχες*⟩ B. ⟨*ἔλαχεν*⟩ Herm. ‖ **3** *τρίτα*⟨*τα*⟩ B. ‖ **4** *δὶς* 𝔈 em. Herm. | Pind. Ol. 4, 10 *ἐλαίαι στεφανωθεὶς Πισάτιδι* ‖ **5** Pind. Ol. 13, 100 *βοὰ κάρυκος*

ΕΥΗΝΟΣ Ο ΠΑΡΙΟΣ

ΕΛΕΓΕΙΑ

1. (1) *Πολλοῖσ' ἀντιλέγειν μὲν ἔθος περὶ παντὸς ὁμοίως,*
ὀρθῶς δ' ἀντιλέγειν, οὐκέτι τοῦτ' ἐν ἔθει.
καὶ πρὸς μὲν τούτους ἀρκεῖ λόγος εἷς ὁ παλαιός·
'σοὶ μὲν ταῦτα δοκοῦντ' ἔστω, ἐμοὶ δὲ τάδε.'
τοὺς ξυνετοὺς δ' ἄν τις πείσειε τάχιστα λέγων εὖ,
οἵπερ καὶ ῥάιστης εἰσὶ διδασκαλίας.

2. (2) *Βάκχου μέτρον ἄριστον ὃ μὴ πολὺ μηδ' ἐλάχιστον·*
ἔστι γὰρ ἢ λύπης αἴτιος ἢ μανίης.
χαίρει κιρνάμενος δὲ τρισὶν Νύμφαισι τέταρτος·
τῆμος καὶ θαλάμοισ' ἐστὶν ἑτοιμότατος.
εἰ δὲ πολὺς πνεύσειεν, ἀπέστραπται μὲν ἔρωτας,
βαπτίζει δ' ὕπνωι, γείτονι τοῦ θανάτου.

1 ATHEN.[1] 9, 367[d.e] *σιωπῶντος οὖν τοῦ Οὐλπιανοῦ 'ἀλλ' ἐγώ, φησὶν ὁ Λεωνίδης, εἰπεῖν εἰμι δίκαιος πολλὰ ἤδη σιωπήσας· πολλοῖς δ' ἀντιλέγειν κατὰ τὸν Πάριον Εὔηνον ἔθος περὶ π. ὁ.' κτλ.* [2—6] | STOB. 2, 2 (*εἰς τὸ ἐναντίον*), 10 p. 22 W. [AST] *Εὐήνου·* [1—4] | ATHEN.[2] 10, 429[f] *ἀκούσεται γὰρ κατὰ τὸν Εὔηνον·* [4] || **2** A.P.11, 49 *Εὐίνου*; PLAN. *ἄδηλον* [1—6]

1 cf. Schmid-Stählin I 4, 474s Geffck. GrLG I 265 Anm. p. 237 RE VI 976, 7 || **1** *πολλοῖς δ'*, *μὲν* omissa, Athen. || **2** *τοῦτο ἐθέλει* Athen. A || **3** *τούτοις* Athen. A | *εἷς* Athen. *ὡς* Stob. 𝔖 | *ἀπαλαιὸς* (pro *ὁ π.*) Stob. A || **4** contulit Wil. HD. 1, 97, 1 Eur. Suppl. 466 *σοὶ μὲν δοκείτω ταῦτ', ἐμοὶ δὲ τἀντία* | *μέντοι αὐτὰ* Athen. A | *ἐστὶν* Stob. 𝔖 *ἐστ'* Athen.[2] AC || **6** cf. fr. eleg. adesp. 19 || **2** Eueno epigrammatistae tribuit Reitz. 58 | ad rem cf. Stob. 3, 18 *περὶ ἀκρασίας* Athen. 10, 426s || **1** cf. Theogn. 509s 211s | ad *ἐλ.* cf. 3, 1 || **2** cf. Stob. l. c. 23ss || **3** *χ. κ. τρισὶ Νύμφαις τέτρατος αὐτός* Plan. || **4** cf. Crit. 4, 18s || **5** Demosth. 25, 57 *πολὺς ... ἔπνει* | *ἀπέστρα* Pal. || **6** primum *Ξ* 231 *Ὕπνωι ... κασιγνήτωι Θανάτοιο* (Hes. theog. 756) | *τῶ* A. P. 𝔖 defend. Kal.

3. (3) *ἡγοῦμαι σοφίας εἶναι μέρος οὐκ ἐλάχιστον*
ὀρθῶς γιγνώσκειν οἷος ἕκαστος ἀνήρ.

4. (4) *πρὸς σοφίαι μὲν ἔχειν τόλμαν μάλα σύμφορόν ἐστιν,*
χωρὶς δὲ βλαβερὴ καὶ κακότητα φέρει.

5. (5) *πολλάκις ἀνθρώπων ὀργὴ νόον ἐξεκάλυψεν*
κρυπτόμενον, μανίας πουλὺ χερειότερον.

6. (6) *ἢ δέος ἢ λύπη παῖς πατρὶ πάντα χρόνον.*

7. (7) ⟨*ὕβρις*⟩,
ἥτις κερδαίνουσ' οὐδὲν ὅμως ἀδικεῖ.

8. (8) *πᾶν γὰρ ἀναγκαῖον πρᾶγμ' ἀνιαρὸν ἔφυ.*

3 STOB. 2, 15 (*π. τοῦ δοκεῖν καὶ τοῦ εἶναι κτλ.*), 4 p. 186 W. [L] ⟨*Εὐ*⟩*ήνου* (Bach, B.: *ήνου* L)· [1. 2] || **4** STOB. 4, 10 (*ἔπαινος τόλμης*), 5 p. 328 H. [SMA] *Εὐήνου·* [1. 2] || **5** STOB. 3, 20 (*π. ὀργῆς*), 2 p. 539 H. [SMA] *Εὐήνου·* [1. 2] || **6** PLVT. am. prolis 4, 497[a] *ὥστε ἐπαινεῖσθαι καὶ μνημονεύεσθαι τοῦ Εὐήνου τοῦτο μόνον, ὡς ἐπέγραψεν·* [1] | ARTEMID. Onirocr. 1, 15 HERMIAS in Phaedr. 266[d] p. 238 C. *θαυμαστὸς δὲ ἐγένετο Εὔηνος· καὶ ἀλλαχοῦ* [apol. 20[b] Phaed. 60[d]] *αὐτὸν ἐπαινεῖ, ὃς καὶ τὸν ἴαμβον τοῦτον εἶπε· φόβος ἢ λ. π. π. π. βίον* || **7** STOB. 3, 1 (*π. ἀρετῆς*), 194 *Ἀριστοτέλους Περὶ ἀρετῆς* (7 p. 1251a 34). p. 145 H. *ἀδικίας δέ ἐστιν εἴδη τρία· ἀσέβεια, πλεονεξία, ὕβρις, λέγει ... ὕβρις δέ, καθ' ἣν τὰς ἡδονὰς αὑτοῖς παρασκευάζουσιν εἰς ὄνειδος ἄγοντες ἑτέρους· ὅθεν καὶ Εὔηνος περὶ αὐτῆς λέγει* [1. 2] || **8** ARIST. metaph. 4, 5 p. 1015a 28 *τὸ γὰρ βίαιον ἀναγκαῖον λέγεται, διὸ καὶ λυπηρόν, ὥσπερ καὶ Εὐηνός φησι·* [1] | idem versus redit ethic. Eudem. 2, 7 p. 1223a 31 rhet. 1, 11 p. 1370a 10 PLVT. suav. viv. 21 p. 1102[c] ALEX. APHROD. in Arist. metaph. 4, 5 p. 1015a 20 p. 360 Hayd.

3 1 Hom. hymn. Merc. 573 *γέρας οὐκ ἐλάχιστον* | cf. 2, 1 || **4 1** *σοφίαν* SA | *μάλ' ἀσύμφορον* M || **5 2** *π. χ.* Grot. ad fr. eleg. adesp. 2 *πολὺ χειρότερον* SMA ⟨*οὐ*⟩ *π. χ.* Buech. ⟨*γὰρ*⟩ *π. χ.* Kal. *π. χεῖρον* Maxim. | Hom. et *χειρ.* et *χερ.* (*O* 513 *B* 248 *M* 270) || **6** cf. Democr. 275s Die.-Kr.[5] Antiphont. 49 Die.-Kr.[5] || **8** totam elegiam servatam esse in Theogn. 467—496 censet Reitz. Epigr. u. Skol. 57s cf. Die. SBBerl. 1884, 350 | ~Theogn. 472, ubi *χρῆμ' ἀνιηρὸν* | *ἀνιηρὸν* Plut.

ΕΠΗ

9. (9) φημὶ πολυχρονίην μελέτην ἔμεναι, φίλε, καὶ δή
ταύτην ἀνθρώποισι τελευτῶσαν φύσιν εἶναι.

ΙΑΜΒΟΙ

10. σοφώτατόν τοι καὶ ἀμαθέστατον χρόνον.

ΚΡΙΤΙΑΣ Ο ΑΘΗΝΑΙΟΣ

ΕΛΕΓΕΙΑ

1. (2)* Κότταβος ἐκ Σικελῆς ἐστι χθονός, ἐκπρεπὲς ἔργον,
ὃν σκοπὸν ἐς λατάγων τόξα καθιστάμεθα.

9 Arist. eth. Nicom. 7, 11 p. 1152 a 30 διὰ γὰρ τοῦτο καὶ τὸ ἔθος χαλεπόν, ὅτι τῆι φύσει ἔοικεν, ὥσπερ καὶ Εὔηνος λέγει· [1. 2] | Heliodor. paraphr. ad l. p. 154, 6ss Heylb. || 10 Simplic. in Arist. phys. 4, 12 p. 221 a 30 p. 741 Die. ὁ δὲ Σιμωνίδης τὸ σοφώτατον τῶι χρόνωι περιῆψε [19 B.[4]]· . . . * * * Εὔηνος δὲ ἐξ ἀμφοῖν πεποίηκε τὸ· [1] cf. Qvint. inst. 1, 10, 17

1 Athen.[1] 1, 28[b] Κριτίας δὲ οὕτως (τὰ ἐξ ἑκάστης πόλεως ἰδιώματα καταλέγει)· [1—14], καὶ ἐπαινεῖται ὄντως ὁ Ἀττικὸς κέραμος |

9 cf. W. Haedicke l. c. 77 || 1 πολυχρόνιον Heliodor. | μεῖναι ci. Fick τελέθειν Sitz. | ad rem cf. Democrit. 33. 242 Die.-Kr.[5] Epicharm. 40 Die.-Kr.[5] Crit. 7 TGF adesp. 516 N.[2] || 10 quamquam Euenum sophistam trimetros scripsisse nusquam traditum legimus | χρόνος ci. Maas

Euenum sapiunt Theogn. 467ss 667ss 1345ss, Simonidem appellantes (cf. C. M. Bowra quoque ClRev. 48 [1934], 2ss) fr. eleg. adesp. 2. 19

1 cf. Schmid-Stählin I 1 (1929), 384 Geffck. GrLG I 266 Anm. p. 237s RE XI 1901ss W. Nestle NJbb. 6 (1903), 80 et 93ss Maria Maykowska De Critiae moribus, fortunis, litteris in Charisteria Przychocki (Varsoviae 1934) 119ss | ad catalogum cf. Pind. fr. 106 Schr. || 1 ἐστι om. Athen.[1] | εἰς ἔργον Athen.[1] | cf. Anacr. 41 Σικελὸν κότταβον ἀγκύληι λατάζων (RE XI 1530) et E 303 χερμάδιον λάβε χειρὶ . . . μέγα ἔργον || 2 ἐκ Athen.[2]

* Numeri adiecti sunt editionis Dielsianae — Kranzianae Vorsokr.[5] II 375ss.

εἶτα δ᾽ ὄχος Σικελὸς κάλλει δαπάνηι τε κράτιστος.
. . . .
Θεσσαλικὸς δὲ θρόνος γυίων τρυφερωτάτη ἕδρα.
εὐναίου δὲ λέχους κάλλ⟨εϊ κῦδ⟩ος ἔχει
Μίλητός τε Χίος τ᾽, ἔναλος πόλις Οἰνοπίωνος.
Τυρσηνὴ δὲ κρατεῖ χρυσότυπος φιάλη
καὶ πᾶς χαλκός, ὅτις κοσμεῖ δόμον ἔν τινι χρείαι.
Φοίνικες δ᾽ ηὗρον γράμματ᾽ ἀλεξίλογα.
Θήβη δ᾽ ἁρματόεντα δίφρον συνεπήξατο πρώτη,
φορτηγοὺς δ᾽ ἀκάτους Κᾶρες, ἁλὸς ταμίαι.
τὸν δὲ τροχὸν γαίας τε καμίνου τ᾽ ἔκγονον, ηὗρεν
κλεινότατον κέραμον, χρήσιμον οἰκονόμον,
ἡ τὸ καλὸν Μαραθῶνι καταστήσασα τρόπαιον.

ΕΙΣ ΑΛΚΙΒΙΑΔΗΝ

2. (4) καὶ νῦν Κλεινίου υἱὸν Ἀθηναῖον στεφανώσω

Athen.[2] 15, 666[b] πρῶτον μὲν ἡ τῶν κοττάβων εὕρεσις Σικελική ἐστιν παιδιὰ [ἐστι ⟨τὴν⟩ παιδιά⟨ν⟩ ci. Kai.] ταύτην πρώτων εὑρόντων Σικελῶν, ὡς Κριτίας φησὶν ὁ Καλλαίσχρου ἐν τοῖς ἐλεγείοις διὰ τούτων· [1. 2] | Phot. lexic. ed. Reitz. Ἀλεξίλογα· οὕτω τὰ γράμματα κέκληκε Κριτίας ὁ τύραννος· [9] || 2 Hephaest. 2, 3 p. 9 C. (περὶ συνεκφωνήσεως) ἢ δύο βραχεῖαι εἰς μίαν βραχεῖαν,

3 σικελικὸς CE corr. Mus. | nota Pind. fr. 106, 4s ἀπὸ τᾶς . . . Σικελίας ὄχημα δαιδάλεον ματεύειν | lacunam pentametro 4, 5 ἄγγεα Λυδὴ χ. κτλ. inserto minus recte explevit Sitz. || 4 γυω CE em. Mus. | cf. fr. 31 Die.-Kr.[5] (Athen. 14, 663[a]) || 5 κ. κ. Kal. ⟨ἔξοχα⟩ κάλλος Mus. ⟨μ⟩αλλὸ⟨ν ἄριστον⟩ ἔ. I. M. Edmonds Proceedings of the Cambr. Philol. Society 1931 CXLVIII—CX p. 6s, vix recte. nemodum verum invenit. sub κάλλ(ος) latere potest χλαῖναν = 'tegumentum' || 5s cf. fr. 35 Die.-Kr.[5] et RE XV 1590 || 6 Hom. hymn. Ap. 180 Μίλητον . . . ἔναλον πόλιν cf. Ion. 4 || 7s cf. RE VI 760ss III 2294s || 8 ὅστις CE corr. Mus. || 9 ἀλ. 𝕮 Phot. '*gedankenhelfer*' Die. λεξίλογα Schweigh. δεξίλογα Dobree ἀεξίλογα Mein., omnia nova | cf. Herod. 5, 58 || 10 rectius Xenoph. Cyr. 6, 4, 9 τοῦ ἁρματείου δίφρου | ad rem cf. Pind. fr. 106, 4 ἅρμα Θηβαῖον et RE V A 1456s || 11 cf. Thuc. 1, 8 | κ 21 ταμίην ἀνέμων (Αἴολον) || 12 τροχοῦ ci. Cas. | γαίης E | τὲ γόνον 𝕮 em. Mus. | cf. 8, 9 πλάστιγξ θ᾽ ἡ χαλκοῦ θυγάτηρ || 14 μαραθῶνος C | Ar. eq. 1334 τοῦ Μαραθῶνι τροπαίου || [illegible] imitatus [illegible]st Didi Taxiarchi grammatici tituli auctor IG XIV 1537 Kai. Epigr. 616 cf. Raderm. SBWien 1912 Abh. 9 | ad rem cf. Soph. 1 || 1 ἀθηναίου v. l. | Pind. Ol. 1, 100ss ἐμὲ δὲ στεφανῶσαι κεῖνον . . . χρή

Ἀλκιβιάδην νέοισιν ὑμνήσας τρόποις·
οὐ γάρ πως ἦν τοὔνομ᾽ ἐφαρμόζειν ἐλεγείωι,
νῦν δ᾽ ἐν ἰαμβείωι κείσεται οὐκ ἀμέτρως.

3. (5) γνώμη δ᾽ ἥ σε κατήγαγ᾽, ἐγὼ ταύτην ἐν ἅπασιν
εἶπον καὶ γράψας τοὔργον ἔδρασα τόδε·
σφραγὶς δ᾽ ἡμετέρης γλώττης ἐπὶ τοίσδεσι κεῖται.

ΠΟΛΙΤΕΙΑΙ ΕΜΜΕΤΡΟΙ

4. (6) καὶ τόδ᾽ ἔθος Σπάρτηι μελέτημά τε κείμενόν ἐστι·
πίνειν τὴν αὐτὴν οἰνοφόρον κύλικα,
μὴ δ᾽ ἀποδωρεῖσθαι προπόσεις ὀνομαστὶ λέγοντα
μηδ᾽ ἐπὶ δεξιτερὰν χεῖρα κύκλωι θιάσου
. . . .
ἄγγεα Λυδὴ χεὶρ ηὗρ᾽ Ἀσιατογενής

ὅπερ ἐν τοῖς ἄλλοις εὑρίσκεται μέτροις . . ., ἐν δὲ τοῖς ἔπεσι σπανίως· ὥσπερ (ὥστε Denig) Κριτίας ἐν τῆι εἰς Ἀλκιβιάδην ἐλεγείαι οὐκ ᾤετο ἐγχωρεῖν τοῦ Ἀλκιβιάδου τὸ ὄνομα· φησὶ γάρ· [1—4] || **3** Plvt. Alcib. 33, 1 τὸ μὲν οὖν ψήφισμα τῆς καθόδου πρότερον ἐκεκύρωτο Κριτίου τοῦ Καλλαίσχρου γράψαντος, ὡς αὐτὸς ἐν ταῖς ἐλεγείαις πεποίηκεν ὑπομιμνήσκων τὸν Ἀλκιβιάδην τῆς χάριτος ἐν τούτοις· [1—3] || **4** Athen. 10, 432d προπόσεις δὲ τὰς γινομένας ἐν τοῖς συμποσίοις Λακεδαιμονίοις οὐκ ἦν ἔθος ποιεῖν οὐδὲ φιλοτησίας διὰ τούτων πρὸς ἀλλήλους ποιεῖσθαι. δηλοῖ δὲ ταῦτα Κριτίας ἐν τοῖς ἐλεγείοις· [1—21]. ἑξῆς τε πάλιν φησίν· [22—27]

2 Pind. Ol. 3, 4 *νεοσίγαλον εὑρόντι τρόπον* || **3s** cf. Lucil. 228s M. Hor. sat. 1, 5, 87 Ov. Pont. 4, 12 (*Tuticanus*) || **3** cf. Raderm. WSt. 50 (1933), 30s 185 Immisch H. 68 (1933), 303s || **1s** cf. Thuc. 8, 97, 3 Plat. rep. 2, 367e || **3** Aly RE III A 1757s Jacob Diehl Sphragis (Diss. Giss. 1938) 13 | *σφρηγὶς*? Be. | *ἡμετέρας* Wil.[1] | *γλώσσης* Schae. | cf. Aesch. Ag. 36s (Theogn. 815) fr. 316 N.[2] Soph. Oed. Col. 1051 Theogn. 19s A. P. 10, 42, 1 || **4** ad titulum cf. Philopon. de anim. 89, 8 ap. Die.-Kr. Vorsokr.[5] sub Critia A 22, ad rem Theogn. 467ss || **2** *αὐτοῦ* D. *αὐτῶν* Kal. || **2ss** cf. fr. 33 Die.-Kr.[5] (Athen. 11, 463e) || **4** cf. Dion. Chalc. 3, 3s? | 'intercidit haec sententia: *contra apud Athenienses hoc moris est*' Kai. || **5** temere traiecit Sitz. in lacunam fr. 1, 3/4 | *ἄγγε᾽ ἃ* Dobree B., fortasse recte. cf. 1, 7s | *δὴ ταχύχειρ* B.e Polluc. 2, 148 (55 Die.-Kr.[5]) | *ἰσχὺς Ἀσ.* Aesch. Pers. 12 | ad rem cf. RE XIII 2140

καὶ προπόσεις ὀρέγειν ἐπιδέξια καὶ προκαλεῖσθαι
ἐξονομακλήδην, ὧι προπιεῖν ἐθέλει.
εἶτ᾽ ἀπὸ τοιούτων πόσεων γλώσσας τε λύουσιν
εἰς αἰσχροὺς μύθους σῶμά τ᾽ ἀμαυρότερον
τεύχουσιν· πρὸς δ᾽ ὄμμ᾽ ἀχλὺς ἀμβλωπὸς ἐφίζει,
λῆστις δ᾽ ἐκτήκει μνημοσύνην πραπίδων,
νοῦς δὲ παρέσφαλται. δμῶες δ᾽ ἀκόλαστον ἔχουσιν
ἦθος· ἐπεισπίπτει δ᾽ οἰκοτριβὴς δαπάνη.
οἱ Λακεδαιμονίων δὲ κόροι πίνουσι τοσοῦτον,
ὥστε φρέν᾽ εἰς ἱλαρὰν ἐλπίδα πάντας ἄγειν
ἔς τε φιλοφροσύνην γλῶσσαν μέτριόν τε γέλωτα.
τοιαύτη δὲ πόσις σώματί τ᾽ ὠφέλιμος
γνώμηι τε κτήσει τε· καλῶς δ᾽ εἰς ἔργ᾽ Ἀφροδίτης
πρός θ᾽ ὕπνον ἥρμοσται, τὸν καμάτων λιμένα,
πρὸς τὴν τερπνοτάτην τε θεῶν θνητοῖσ᾽ Ὑγίειαν
καὶ τὴν Εὐσεβίης γείτονα Σωφροσύνην.
. . . .
αἱ γὰρ ὑπὲρ τὸ μέτρον κυλίκων προπόσεις παραχρῆμα
τέρψασαι λυποῦσ᾽ ἐς τὸν ἅπαντα χρόνον.
ἡ Λακεδαιμονίων δὲ δίαιθ᾽ ὁμαλῶς διάκειται,

6 cf. 4, 3s 8, 7 || **6s** cf. M. Bernhard Phil. 84 (1929), 10ss Maas BZ. 35 (1935), 303 cum adn. | *μ* 249s *καλεῦντες ἐξονομακλήδην* || **7** *προπολεῖν* **A** corr. **C** | *ἐθέληι* Hart. || **8** *τελέουσιν* 𝕮 em. Mus. || **8s** cf. Soph. fr. 843 N.[2] Theogn. 479ss || **10** *ὄμμ᾽* **AC** *ὄμματ᾽* Herm. at *Υ* 421 *κάρ ῥά οἱ ὀφθαλμῶν κέχυτ᾽ ἀχλύς* | de *ἀμβλ.* cf. Phot. lex. ed. Reitz. p. 89 (Eur.) | aliter Pind. Nem. 8, 1ss *Ὥρα . . . ἐφίζοισα γλεφάροις* || **11** *λῆσις* **AC** (idem Soph. Oed. Col. 584) corr. **C**[2] | Plat. rep. 3, 411b *ἐκτήξηι τὸν θυμόν* || **12** Opp. hal. 3, 200 (*γαστὴρ*) *πολλοὺς δὲ παρασφήλασα νόοιο* || **12s** Eur. fr. 201 N.[2] *ἀκόλαστον ἦθος* | de servorum Lacedaemone vita cf. fr. 37 Die.-Kr.[5] et Ps.-Xenoph. Ath. rep. 1, 11 (Kal.) || **13** Herod. 2, 37 (*Αἰγύπτιοι*) *οὔτε τι . . . τῶν οἰκηίων τρίβουσι οὔτε δαπανῶνται* | *οἰκοτρ.* novum || **14ss** cf. Ion. 1, 11 || **15** *ἐλπίδα* Emp. *ἀσπίδα* **AC** | *πάντ᾽ ἀπάγειν* (*ἀπαγαγεῖν*) 𝕮 em. B. || **18** *ἔ. Ἀφρ.* Hom. hymn. Ven. 1, 9 | cf. Euen. 2, 4 || **20** *ὑγείαν* **AC** | cf. Democr. 234 Die.-Kr.[5] atque hymnos Ariphronis et Licymnii RE IX 93ss || **21** *εὐσεβείης* **A** corr. **C** *Εὐσεβίας* Wil.[1] | cf. Eur. Hippol. fr. 446 N.[2] Kern Rel. 1, 275s RE VI 1363s III A 1106s | fr. 5 lacunam explere iussit Dietrich apud Die. || **22s** cf. fr. 27 Die.-Kr.[5] Democr. 235 Die.-Kr.[5] || **23** *ἅπαντα*: *ἔπειτα* Schnw.

ἔσθειν καὶ πίνειν σύμμετρα πρὸς τὸ φρονεῖν
καὶ τὸ πονεῖν εἶναι δυνατούς· οὐκ ἔστ᾽ ἀπότακτον
ἡμέραι οἰνῶσαι σῶμ᾽ ἀμέτροισι πότοις.

5. (7) *ἦν Λακεδαιμόνιος Χείλων σοφός, ὃς τάδ᾽ ἔλεξε·*
'μηδὲν ἄγαν· καιρῶι πάντα πρόσεστι καλά.'

6. (8) *πλοῦτον μὲν Σκοπαδῶν, μεγαλοφροσύνην δὲ Κίμωνος,*
νίκας δ᾽ Ἀρκεσίλα τοῦ Λακεδαιμονίου

7. (9) *ἐκ μελέτης πλείους ἢ φύσεως ἀγαθοί.*

ΕΠΗ

8. (1) *τὸν δὲ γυναικείων μελέων πλέξαντά ποτ᾽ ὠιδάς*
ἡδὺν Ἀνακρείοντα Τέως εἰς Ἑλλάδ᾽ ἀνῆγεν,
συμποσίων ἐρέθισμα, γυναικῶν ἠπερόπευμα,

5 Diog. Laert. 1, 41 *διαφωνοῦνται δὲ καὶ αἱ ἀποφάσεις αὐτῶν (τῶν Ἑπτὰ) καὶ ἄλλου ἄλλο φασίν, ὡς ἐκεῖνο* [1. 2] | Schol. Eur. Hipp. 264 p. 38 Schw. *ἑνὸς τῶν Ἑπτὰ σοφῶν ἐστιν ἀπόφθεγμα τὸ 'μηδὲν ἄγαν', ὅπερ Χίλωνι ἀνατιθέασιν, ὡς Κριτίας·* [1. 2] ‖ **6** Plvt. Cim. 10, 5 *Κριτίας δὲ τῶν τριάκοντα γενόμενος ἐν ταῖς ἐλεγείαις εὔχεται·* [1. 2] ‖ **7** Stob. 3, 29 (*π. φιλοπονίας*), 11 p. 629 H. [SMA] *Κριτίου·* [1] ‖ **8** Athen. 13, 600ᵈ *ὃν (Ἔρωτα) ὁ σοφὸς ὑμνῶν αἰεί ποτε Ἀνακρέων πᾶσίν ἐστιν διὰ στόματος. λέγει γοῦν περὶ αὐτοῦ καὶ ὁ κράτιστος Κριτίας τάδε·* [1—10]

25 *ἐσθίειν* A corr. Mus. | ε 197 *ἔ. καὶ π.* | *φρονεῖν* Bach *φανέν* A | cf. Herod. 2, 69 ‖ cf. Ion. 1, 16 ‖ **26s** *ἀπότακτος ἡμέρα* edd. cum C | cf. Theogn. 335s 401ss cum adn. | ad *κ.* cf. Pind. Pyth. 9, 77ss et *Καιρόν* deum ‖ **6 1** *Σκοπαδῶν* i. Thessalorum (Pind. fr. 255 Schr.); de Scop. divitiis cf. Plut. Cat. m. 18, 5 cupid. divit. 8 p. 527ᶜ RE III A 567s ‖ [illegible] *Ἀρκεσίλα* Westermann e Paus. 6, 2, 1s *ἀγησίλα* vel *ἀγησιλάου* 𝕮 | cf. Thuc. 5, 50, 4. 76, 3. 8, 39, 2 | curru vicit A., Lichae pater, Olympiae ‖ **7** cf. W. Haedicke l. c. 77, 6 Epicharm. 33 Die.-Kr.⁵ Democr. 242 Die.-Kr.⁵(Kr.) Euen. 9 | '*ἢ* ⟨*'κ*⟩ Morel' Kr. ‖ **8** cf. Wil. SS. 108s Hom. epigr. 3 (in Midam) Hor. carm. 1, 17, 17ss ‖ **1** *τὸν σὲ* Mein. ad Simiae 1 (10), 1 *τὸν δὲ* defendit Wil. alterius poetae velut Ibyci antea mores et amores descriptos esse arbitratus | Pind. Ol. 6, 86s *πλέκων . . . ὕμνον* Nem. 4, 94 *ῥήματα πλ.* ‖ **2** *Γ* 48s *γυναῖκ᾽ εὐειδέ᾽ ἀνῆγες ἐξ ἀπίης γαίης* | A. poeta suavis suaviter vixit (Wil.) ‖ **3** Ar. nub. 312 *εὐκελάδων τε χορῶν ἐρεθίσματα* | *Ε* 349 *γυναῖκας . . . ἠπεροπεύεις Γ* 39 *Δύσπαρι . . . γυναιμανὲς ἠπεροπευτά* (*Δύσπαρι*) ‖ **2s**

αὐλῶν ἀντίπαλον, φιλοβάρβιτον, ἡδύν, ἄλυπον.
οὔ ποτέ σου φιλότης γηράσεται οὐδὲ θανεῖται,
ἔστ᾽ ἂν ὕδωρ οἴνωι συμμειγνύμενον κυλίκεσσι
παῖς διαπομπεύηι προπόσεις ἐπιδέξια νωμῶν,
παννυχίδας θ᾽ ἱερὰς θήλεις χοροὶ ἀμφιέπωσιν,
πλάστιγξ θ᾽ ἡ χαλκοῦ θυγάτηρ ἐπ᾽ ἄκραισι καθίζηι
κοττάβου ὑψηλαῖς κορυφαῖς Βρομίου ψακάδεσσιν.

4 *φιλοβάρβ.* novum ‖ **5** *οὔ ποτε τοῦ* Herm. | *γηράσκεται* E | *οὔτε* Die. | Hor. carm. 4, 9, 9s contulit Morel (Kr.) ‖ **6** Theogn. 1245 *οὔποθ᾽ ὕδωρ καὶ πῦρ συμμείξεται* ‖ **7** *πρόποσις* AE em. Mus. | cf. 4, 6 Dion. Chalc. 1, 2 Eur. Hel. 1364s ‖ **9** *πλάστιξ* A corr. E | *δ᾽ ἡ* E | cf. 1, 12 *τροχὸν γαίας τε καμίνου τ᾽ ἔκγονον* | *καθίζει* A *καθίξει* E corr. ς | cf. Antiphan. ap. Athen. 15, 666s (II 33, 55 K.) Polluc. 6, 110 ‖ **9s** *Θ* 83 *ἄκρην . . . κορυφήν Α* 499 al. *ἀκροτάτηι κορυφῆι . . . Οὐλύμποιο* ‖ **10** ad *κοττ.* cf. 1, 1ss | *ὑψηλοῦ* (*ὑψηλὴ* Wil.) *κορυφαῖς, Βρ. ψ.* ⟨*βαλλομένη*⟩ Kai. an in versu integro *κορυφαῖς* ut glossema delendum substituendumque *τέκμαρ* vel *ὀροφή*? Die.

ΑΝΤΙΜΑΧΟΣ Ο ΚΟΛΟΦΩΝΙΟΣ

ΛΥΔΗ

1. (72)* φεύγοντας γαίης ἔκτοθι Δωτιάδος

---

2. (67) ἔνθα Καβάρνους θῆκεν ἀγακλέας ὀργειῶνας.

3. (70) εἶπε δὲ φωνήσας· 'Πόλυβε, θρεπτήρια τάσδε
ἵππους τοι δώσω δυσμενέων ἐλάσας.'

---

3 A. (57) ἐν δ' ἱστὸν θῆκεν, λαίφεσι δὲ λινέοις

1 Steph. Byz. s. v. *Δώτιον . . . καὶ Δωτιάς, ὡς Ἰλιάς τοῦ Ἰλιεύς . . . καὶ Ἀντίμαχος ἐν δευτέρωι Λύδης·* [1] || **2** Phot. 344, 7 *ὀργεῶνες . . . ὁ γοῦν Ἀντίμαχος ἐν τῆι Λύδηι γενεᾶι* (*φ(ησίν)· ἔνθα* Maas) *Καβάρνους θ. ἀ. ὀργίωνας* (Svid. s. v. *ὀργ.*) | Hesych. *Κάβαρνοι· οἱ τῆς Δήμητρος ἱερεῖς, ὡς Πάριοι* | Hesych. *ὀργεῶνες· μύσται. ἱεροφάνται. ἱερεῖς* cf. Harpocr. p. 139, 3 B. || **3** Schol. Eur. Phoen. 44 (I 254 Schw.) *ὅτι δὲ Πολύβωι δέδωκε* (*Οἰδίπους*) *τοὺς ἵππους, καὶ Ἀντίμαχός φησιν ἐν Λύδηι·* [1. 2] || **3 A** Inscr. Ostrac. Berol. 12605 saec. III a. Chr. ed. Wil. SBBerl. 1918 p. 741ss (cf. HD. 1, 101) *σοῦσα· σχοινία· Ὁμήρου* [φ 390s]·

Antimachi Colophonii reliquiae. Collegit disposuit explicavit Bernh. Wyss Berol. 1936 (W.) de Antimacho cf. Wil. Gl. 1, 392. 2, 315² || **1** cf. Diod. 5, 61, 2 (cum Stollio) et Callimachum Cereris errores describentem (W.) | *ἔκτ.* vox Homerica | Ap. Rhod. 1, 243 *γαίης Παναχαΐδος ἔκτοθι* adscr. W. | Hes. fr. 122, 2 *Δωτίωι ἐν πεδίωι* (246) || **2** *γενεᾶι* 𝔆 *γ' ἔνθα* ci. Gaisf. et Friedemann *γέννα* Kal. | ad *Καβάρνους* cf. Hi. v. Gaertr. IG XII 5 p. XXVI 1439 | de formis *ὀργεῶνες, ὀργειῶνες, ὀργείονες* contulit W. W. Schu. Qu. epic. 255 || **3 1**s Hom. hymn. Cer. 168 *τοὶ ἀπὸ θρεπτήρια δοίη* | Hes. op. 188 *γηράντεσσι τοκεῦσιν ἀπὸ θρεπτήρια δοῖεν* (W.) || **1** *τάδε* 𝔆 em. B. *ταῦτα* Barnes *τούσδε* Duebner || **3 A 1** δ 578 *ἐν δ' ἱστοὺς τιθέμεσθα* (λ 3) δ 781 *ἐν δ' ἱστόν τ' ἐτίθεντο* (ϑ 52) | *θῆκεν* Minerva in Argo exaedificanda | ad λ. cf. Hom. hymn. Apoll. 406 *λαῖφος νηός* et Hesych. *λαῖφος· τὸ ἱστίον ἤγουν τὸ ἄρμενον*

* Numeri adiecti sunt editionis Wyssianae.

σοῦσα ἐτίθει παντοῖα θεά, πόδας ἠδὲ κάλωας,
ἐν δ' ὑπέρας στρεπτὰς ὅπλα τε πάντα νεώς.

4. (66) – ⏖ – τότε δὴ χρυσέωι ἐν δέπαϊ
Ἠέλιον πόμπευεν ἀγακλυμένη Ἐρύθεια.

5. (73) – οἳ τῶν μεγάλων ἔρκτορές εἰσι κακῶν.

6. (71) ἠύτε τις καύηξ δύπτηι ⏖ – ⏑⏑ – ⏓
ἁλμυρὸν ἐς πέλαγος.

'κεῖτο δ' ὑπ' αἰθούσ[ηι σοῦσον] νεὸς ἀμφιελίσσης βύβλινον, ὧι τ' ἐπέδησε θύρας, [ἐς δ' ἤ]λυθεν αὐτός' (ubi *ὅπλον, ὧι ῥ', ἤιεν* fere 𝔆). *Ἀντιμάχου·* [1—3] cf. Humpers Rev. Phil. 45 (1922), 90 J. U. Powell ClRev. 33 (1920), 91 et Collectan. Alexandr. p. 250 VI || **4** Athen. 11, 469ᵉ *ὅτι δὲ καὶ ὁ Ἥλιος ἐπὶ ποτηρίου διεκομίζετο ἐπὶ τὴν δύσιν, Στησίχορος μὲν οὕτως φησίν·* [fr. 6] . . . *καὶ Ἀντίμαχος δ' οὑτωσὶ λέγει·* [1. 2] subsequitur Mimn. 10 || **5** Et. Magn. 375, 40 *παρὰ τὸ ἔρξω ἔρκτωρ, ὡς ἄγω ἄκτωρ. ἔρκτωρ· ὁ πρακτικός, Ἀντίμαχος·* [1] || **6** Schol. Ap. Rhod. 1, 1008 p. 88s W. *'δύπτοντες κεφαλάς' . . . δύπτειν δέ ἐστι τὸ δύνειν, ⟨δύπται δὲ αἴθυιαι⟩, ὡς παρὰ Καλλιμάχωι·* [fr. 167 Schn.] . . . *πρότερος δὲ Ἀντίμαχος·* [1. 2] (*δύνειν ὡς Ἀντίμαχος· ἠύτε—πέλαγος. καὶ παρὰ Καλλιμάχωι·* [fr. 167 Schn.] restituit W.) cf. Et. Magn. 291, 19

2 de *σοῦσον* vocis, *ὅπλον* glossemate in Odyssia (φ 390 [et ξ 346 ? Wil.]) antiquitus remotae, origine significatione historia disputavit Wil. l. c. cf. *οὖσον* quoque ap. Alex. Aetol. Apoll. 21 Lycophr. 20 Hesych. *οὖσα· σχοινία. νεὼς ὅπλα* et *οἶσον* ap. Antimach. fr. 102 p. 99 Stoll et O. Schn. Phil. 6 (1847), 523. idem fere Wil. quoque H. 59 (1924), 273, 192 Powell et Wyss (*οὖσ'*) || **2s** ε 260 (Ulixes ratem aedificans) *ἐν δ' ὑπέρας τε κάλους τε πόδας τ' ἐνέδησεν ἐν αὐτῆι*, praecedit v. 254 *ἐν δ' ἱστὸν ποίει* (cf. 1) || **3** κ 404. 424 μ 410 *ὅπλα τε πάντα* de armamentis navium || **4** cf. Mimn. 10 cum adn. || **1** *εὐχρεωι* 𝔆 em. Cas. ad Ω 285 || **2** *πομπει* 𝔆 (Hesych. *πομπεῖ· πομπεύεται*) *πόμπευεν* cum Schweigh. editor. cf. ν 422 Erinn. 2 *πομπεύει* Kal. | *ἀγ.* solus Antimachus ad *ἀγακλέας* 2, sed cf. *ἀγακλυτός* Homeri, *κλύμενος* Antimachi fr. 85 Theocr. 14, 26 et *ἀγακλειτὴ Γαλάτεια* Σ 45 | *Ἐρ.* Hesperidem celebrat Hes. (fr. 270) || **5** *οἱ* Et. Magn. *οἷον* Et. genuin. **AB**, unde *οἷοι* vel *οἳ οἱ* vel *ὅσσοι* (hoc Valck.) lusit Wyss || **6 1** *τις* om. Par. | Ap. Rhod. 2, 933 *ἠύτε τις . . . κίρκος* contulit W. | ad *καύηξ* cf. Hippon. 5 | *δύπτηι* **A** *δύπτης* Mein. Hesych. *δύπτης· κολυμβητής. δύτης* et *δύπτοντες· κολυμβῶντες.* exhibent *δύπτω* verbum Ap. Rhod. 1, 1326 Lycophr. Alex. 164. 715, *δύπτης* subst. et adi. Callim. l. c. Opp. hal. 2, 436 Lycophr. 73. 387 (W.) || **1s** *δύνη ἐς ἁλμυρὸν π.* **L** *δύπτει εἰς* (*ἐς*) *ἁ. ὕδωρ* Par. (ex Homero et Apollonii *ἐς ἁλμυρὸν . . . ὕδωρ δύπτ. κεφ.*]) | *δύπτης* ⋮ *ἠύτε τ. κ. ἁλμ. ἐς π.* Wendel p. 89

ΠΛΑΤΩΝ Ο ΑΘΗΝΑΙΟΣ

ΕΠΙΓΡΑΜΜΑΤΑ

1. (1) *Τὴν ψυχὴν Ἀγάθωνα φιλῶν ἐπὶ χείλεσιν ἔσχον·*
ἦλθε γὰρ ἡ τλήμων ὡς διαβησομένη.

2. (2) *Τῶι μήλωι βάλλω σε· σὺ δ' εἰ μὲν ἑκοῦσα φιλεῖς με,*
δεξαμένη τῆς σῆς παρθενίης μετάδος·
εἰ δ' ἄρ' ὃ μὴ γίγνοιτο νοεῖς, τοῦτ' αὐτὸ λαβοῦσα
σκέψαι τὴν ὥρην ὡς ὀλιγοχρόνιος.

3. (3) *Μῆλον ἐγώ, βάλλει με φιλῶν σέ τις· ἀλλ' ἐπίνευσον,*
Ξανθίππη· κἀγὼ καὶ σὺ μαραινόμεθα.

1 Diog. Laert. 3, 32 (post 8) *ἀλλὰ καὶ εἰς Ἀγάθωνα·* [1. 2] | Gell. 19, 11, 1s *neque adeo pauci sunt veteres scriptores, qui ⟨i⟩dem* (sic Geffck.) *eos (duos versiculos) Platonis esse philosophi adfirmant, quibus ille adulescens luserit* ... [1. 2] (Macr. sat. 2, 2, 15s) | A. P. 5, 77 *Πλάτωνος·* m.^{2} *εἰς Ἀγάθωνα τὸν μαθητὴν αὐτοῦ* | Anecd. Par. ed. Cram. 4, 384, 1 (sine nomine) || **2** Diog. Laert. 3, 32 *καὶ ἄλλο·* [1—4] | A. P. 5, 78 *τοῦ αὐτοῦ·* [1—4] | Plan. *εἰς ἑταίραν τινὰ δυσπιθῆ* || **3** Diog. Laert. 3, 32 [1. 2], ubi minus recte 2. 3 coniuncta leguntur | A. P. 5, 79 *τοῦ αὐτοῦ (Πλάτωνος)·* | Plan. *Φιλοδήμου·*

